Ἐθάδ᾽ ἅμα τροχέωσ᾽ ἄρτοι, ἢ δι᾽ αὖται ἄμαξαι.
Θρεπτήριαι αἱ δ᾽ ἦσαν τοῦ μεγάλοιο Διός,
Τὰς διὰ ἀμφοτέρας ποταμῷ εἰλεῖται ἐοικώς
Τοῖς θνητοῖς φοβερὸν καὶ μέγα θαῦμα, δράκων
Ἐστὶ δὲ κ᾽ εἴδωλον, τὸ μὲν οὔτις ἐπίσταται εἰπεῖν,
Τί πράττει, γνῶναι ἀμφαδὸν ἠδὲ σαφῶς,
Αὐτοῦ κἀκεῖνον στέφανον Διόνυσος ἔθηκεν,
Σῆμα ἀποιχομένῃ τῇ Ἀριάδνῃ ἔμεν,
Σκέπτεο δὴ ὤμους ὀφιούχου σφόδρα φαεινοῦ,
Καὶ χηλῶν μεγάλως φῶς μὴ ἀγαυὸν ὅρα
Ἐνθάδε κ᾽ ἀρκτοφύλαξ φέρεται ἐλάοντι ἐοικώς
Ἰχθύες ἀρκτοῦρος, καρκίνος ἠδὲ λέων,
Ἡνίοχός τ᾽ ἔριφοί θ᾽, ὑάδες τε καὶ ἀενίη αἴξ
Παρ ποσὶν ἡνιόχου ταύρου ἔνεστι κέρα,
Καὶ κηφεὺς τανύων χεῖρας καὶ δάκρυα λείβων,
Δαιμονίη τε δάμαρ κασσιέπεια πάρα.
Ἀνδρομέδης μάλα αἰνὸν ἄγαλμα κυλίνδεται ὧδε,
Τῆς σποράδην κεῖται ζώματα πάντα ἔτι.
Παρθένος αἰγλήεντα στάχυν μετὰ χερσὶ φέρουσα,
Ἄιδρας ἔπι συγοροὺς μισέει ἠδὲ στυγεῖ.
Ἀλλ᾽ οὔτις πάντας δύναται τούτων ἀστέρας εἰπεῖν,
Οἳ περικυλίνδονται αἰὲν ἄνευ τε τέλους,
Εἰμὴ Ἰωάννης οὗτος πάνυ ὄβριμος ἀνήρ,
Ἐν βραχέσιν τούτοις ἄστρα πίναξι γράφων,
Ἀλλὰ ἐπειδὴ ὁ Ζεὺς ἀνθρώποις ἤπιός ἐστι,
Δεξιὰ σημαίνων καὶ ἐπὶ ἔργον ἄγων.
Χρή μιν ἀεὶ πρῶθόν τε καὶ ὕστατον ἱλάσκεσθαι,
Καὶ ταυτῷ ὕμνους, κάλλιμα δῶρα, φέρειν.
Ὅττι ἀνέμων, ὑετοῦ τε ὁμῶς, καὶ χείματος αὐτόν,
Οὐρανοῦ ἐν ἐδάφει σήματ᾽ ἔθηκεν ἑοῦ.



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn267999623/17
gefördert von der Deutschen Forschungsgemeinschaft DFG